# 27 ΙΟΥΛΙΟΥ
## Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος. (†304)

Διάταξις Ἀκολουθίας ἰσχύουσα αἰωνίως,
πλὴν Κυριακῆς καὶ προκειμένου ἑσπερινοῦ.

* * * * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχεται ὁ Ἀναγνώστης ἀναγινώσκων τὸν Προοιμιακὸν Ψαλμόν, λέγων οὕτω·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ´ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ

ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα. Καὶ νῦν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου,
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

* * *

Μετὰ τὸν Προοιμιακόν,
Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου·

## ΤΑ ΕΙΡΗΝΙΚΑ

Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κτλ.

Οἱ δὲ χοροὶ εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον μέχρι καὶ τῆς Ἀντιλαβοῦ, σῶσον...

Ὁ διάκονος· Τῆς Παναγίας, ἀχράντου...

Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα...
Ὁ χορός· Ἀμήν.

* * *

## Η ΣΤΙΧΟΛΟΓΙΑ ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ

Στιχολογοῦμεν τοῦ, Μακάριος ἀνήρ, τὴν α΄ στάσιν. Εἶτα·
Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·
Ὅτι σὸν τὸ κράτος...

* * *

## ΟΙ ΕΠΙΛΥΧΝΙΟΙ ΨΑΛΜΟΙ

### Ψαλμὸς ρμ΄ (140).

Ἦχος Πα






Ἡ Στιχολογία.



κρι ται αυτων

Α κου σον ται τα ρη μα τα α μου ο τι η δυν θη

σαν ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε

σκορ πι σθη τα ο στα αυ των πα ρα τον Α α δην

Ο τι προς σε Κυ υ ρι ε Κυ ρι ε οι ο φθαλ μοι

οι μου ε πι σοι οι ηλ πι σα μη αν τα νε λης την ψυ χη

ην μου

Φυ λα ξο ον με α πο πα γι ι δος ης συν ε

στη σαν το ο μοι και α πο σκαν δα λων των ερ γα ζο

με ε νων την α νο μι ι αν

Πε σουν ται εν αμ φι βλη στρω αυ των οι α μα ρτω

λοι κα τα μο νας ει μι ε γω ε ως αν πα ρε

ελ θω

## Ψαλμὸς ρμα΄ (141).

Φω νη η μου προς Κυ ρι ον ε κε κρα ξα φω νη

η μου προς Κυ υ ρι ον ε δε η η θην


Ε κ χε ω ε νω πι ον αυ του την δε η σι ιν
μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Ε ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και
συ εγνως τας τρι βους μου
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο μην ε κρυ
ψαν πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α α και ε
πε βλε πον και ουκ η ην ο ε πι γι νω σκων με
Α πω λε το φυ γη η απ ε μου και ουκ ε ε
στιν ο εκ ζη των την ψυ χη ην μου
Ε κε ε κρα ξα προς σε Κυ ρι ε ει ει πα συ ει
η ελ πις μου με ρις μου ει εν γη ζω ων των
Π ρο σχες προς την δε η σι ιν μου ο ο τι ε τα
πει νω θην σφο ο δρα
Ρ υ υ σαι με εκ των κα τα δι ω κον των με ο ο
τι ε κρα ται ω θη σαν υ περ ε με

Ε ξα γα γε εκ φυ λα κης την ψυ χη ην μου του
ε ξο μο λο γη σασθαι τω ο νο μα τι ι σου

Ε με υ πο με νου σι δι και οι ε ως ου αν
τα πο δω ως μοι

Ε κ βα θε ων ε κε κρα ξα σοι Κυ ρι ε Κυ ρι
ε ει σα ακ ου σον της φω νη ης μȣ

Γ ε νη θη η τω τα ω τα σου προ σε χον τα εις την
φω νην της δε η σε ω ως μου

Ἱστῶμεν στίχους ϛ΄, καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια γ΄ ἐκ τοῦ Μηναίου, δευτεροῦντες αὐτά.

Στιχηρὰ προσόμοια γ΄ ἐκ τοῦ Μηναίου.

Ὁ ἐξ ὑψίστου κληθείς. Ἦχος Βου

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ο ε πα ξι ι ως κλη θεις Παν τε λε η η μων
ο τε το φι λαν θρω πον πα σιν ε φη πλω σας την των ψυ
χων ε πι με λει αν και των σω μα των την θε ρα
πει ει αν ε πι ι δει κνυ με νος το τε την φε ρω νυ
μον κλη σιν ε πλȣ τη σας της α ρε της την αν τι δο σιν

και ευ σε βει ας αν τι μι σθι αν Μαρ τυς ευ ρα με νος

στε φα νη φο ρος και α ητ τη τος στρα τι ω

της δει χθεις τȣ Θε ȣ η μων ον ι κε τευ ε σω ω

ω σαι και φω τι σαι τας ψυ χας η μων

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Ὁ ἐπαξίως κληθεὶς Παντελεήμων...

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

O ι α μα α των την χα ριν δε δεγ με ε νος

ο τε την ευ σε βει αν παν των προ ε κρι νας της μη τρι

κης αν τε χο με νος θε ο σε βει ας και πα τρι κην

μι σηη σα ας δυσ σε βει αν το τε σοι την εν Θε ον αι

γλην δε δω ρη ται των φω τι σμα των η α βυσ σος ο φω

το δο της τȣ Θε ȣ Λο γος ο με ε γα λο δω ρος

θει α προ γνω σει προ ει δω ως σȣ Παν τε λε η

μον σο φε την λαμ προ τη τα ην υ πε δει ξας πα α

α σιν ευ σε βως πο λι τευ σα με νος

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ὁ ἰαμάτων τὴν χάριν δεδεγμένος...

Στίχ. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.




Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Ὁ ἐξ ἀΰλων πηγῶν τοῦ σωτηρίου...

Ἦχος Πα






Καὶ νῦν. Θεοτοκίον.

Ἦχος Πα




νων α α α μην
Τις μη μα κα ρι σει σε Πα να γι α α α Πα α
ρθε ε ε νε τις μη α νυ υ μνη σει ει σου τον α λο
ο ο χε ε ευ τον το ο ο ο κον ο γαρ α χρο
νως εκ Πα τρος εκ λα αμ ψας Υι ος μο ο νο γε ε
νης ο αυ τος εκ σου ου της α α α γνη η ης προ ο
η ηλ θεν α φρα α α στως σα αρ κω ω ω θεις φυ
σει Θε ε ε ο ο ος υ πα α αρ χων και φυ σει γε
νο ο με ε νος α ανθρωω ω πος δι ι η η η
η μας ουκ εις δυ α α δα α προ σω ω ω ω πων
τε μνο ο με ε ε ε νος αλλ εν δυ α α δι ι
φυ υ σε ε ων α συγ χυ υ τως γνω ω ω ρι ζο
ο με ε ε ε νος αυ το ον ι ι κε τε ευ ε σε μνη
πα αμ μα κα α α α ρι ι ι ι στε ε λε η
θη η η η η η ναι τα ας ψυ χα α ας η η η η
μω ω ω ω ω
* * *

# ΕΙΣΟΔΟΣ - ΕΠΙΛΥΧΝΙΟΣ ΕΥΧΑΡΙΣΤΙΑ

Ψαλλομένου τοῦ Καὶ νῦν γίνεται ἡ εἴσοδος ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου.

Ὁ διάκονος· Σοφία· ὀρθοί.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Φῶς ἱλαρόν. Μέλος παλαιόν, ἐξήγησις Σίμωνος Ι. Καρᾶ.

Ἦχος Δι



αι αις αι σι ι ι αις Υι υι ε ε Θε ε ȣ

ȣ ȣ ζω ω η η ην ο ο ο δι δȣς δι ι ο ο ο

ο ο κο ο οσμος σε ε δο ξα α α α α α

α α ζει ει ει ει ει ει ει ει ει ει ει

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. δ΄ Νη

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ȣ

Στίχ. α΄. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, εν αυ λαις οι οι κȣ ȣ

Θε ου η μων

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ȣ

Στίχ. β΄. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια

και ευ λο γει τε ε τον Κυ ρι ον

Ι δȣ ȣ δη ευ λο γει ει τε τον Κυ ρι ον

πα αν τες οι δȣ ȣ λοι Κυ ρι ι ȣ ȣ ȣ ȣ

## Τῇ Δευτέρᾳ ἑσπέρας.

Ἦχος Δι

Κ υ υ ρι ος ει σα κϗ σε ται μϗ εν τω

κε κρα γε ε ναι με προς αυ τον

Στίχ. α΄. Ἐν τῷ ἐπικαλεῖσθαι με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με και

ει σα κϗσοντηςπροσευ χη ης μϗ

Κ υ υ ρι ος ει σα κϗ σε ται μϗ εν τω

κε κρα γε ε ναι με προς αυ τον

Στίχ. β΄. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε κα τα μο νας επ ελ πι δι κα τω κι

σα ας με

Κ υ υ ρι ος ει σα κϗ σε ται αι μϗ εν τω

κε κρα γε ναιμεπρος αυ το ο ον

## Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος Πα

Τ ο ε λε ος σϗ Κυ ρι ε κα τα δι ω ξει με

πα σαςτας η με ραςτηςζω ης μϗ

Στίχ. α΄. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης

ε κει με κα τε σκη νω σεν

Το ε λε ος σϒ Κυ ρι ε κα τα δι ω ξει με

πα σας τας η με ρας της ζω ης μϒ

Στίχ. β΄. Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου οὐ φοβηθήσομαι κακά

ο τι συ υ μετ ε μϒ ϒ ϒ ει

Το ε λε ος σϒ Κυ ρι ε κα τα δι ω ξει με

πα σας τας η με ρας της ζω η ης μϒ ϒ ϒ

## Τῇ Τετάρτῃ ἑσπέρας.

Ἦχος Κε

Ο Θε ος εν τω ο νο μα τι σϒ σω σον με

και εν τη δυ να μει σϒ κρι νεις με

Στίχ. α΄. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου ε νω τι σαι τα ρη μα τα τϒ στο μα τος μϒ

Ο Θε ος εν τω ο νο μα τι σϒ σω σον με

και εν τη δυ να μει σϒ κρι νεις με

Στίχ. β΄. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι και ο Κυ ρι ος



αν τι λη πτωρ της ψυ χης μȣ
Ο Θε ος εν τω ο νο μα τι σȣ σω σον με
και εν τη δυ να μει σȣ κρι νεις με ε ε ε
Τῇ Πέμπτῃ ἑσπέρας.
Ἦχος … Δι
Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι
ȣ τȣ ποι η σαν τος τον ȣ ρα νον και την γη ην
Στίχ. α΄. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη ο θεν η ξει
η βο η θει α μȣ
Η βο η θει α α μȣ πα ρα Κυ ρι ι ι
ȣ τȣ ποι η σαν τος τον ȣ ρα νον και την γη ην
Στίχ. β΄. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ φυ λα ξει
την ψυ χην σȣ ο Κυ ρι ος
Η βο η θει α μȣ πα ρα Κυ ρι ι ȣ τȣ
ποι η σαν τος τον ȣ ρα νο ον και τη ην γη η
ην

Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Γα

Ο Γα Νη
Θε ος α ντι λη πτωρ μȣ ει το ε λε
Γα
ο ος σȣ προ φθα α σει με

Στίχος α΄. Γα
Ε ξε λȣ με εκ των εχ θρων μȣ ο Θε
Νη
ος και εκ των ε πα νι στα με νων επ ε με ε λυ
Μ
τρω σαι αι με

Ο Γα Νη
Θε ος α ντι λη πτωρ μȣ ει το ε λε
Γα
ο ος σȣ προ φθα α σει με

Στίχος β΄. Γα
Ρυ σαι με εκ των ερ γα ζο με νων την
Νη Γα
α νο μι αν και εξ αν δρων αι μα των σω σον
με

Ο Γα Νη
Θε ος α ντι λη πτωρ μȣ ει το ε λε ο
ος σȣ προ φθα σει με ε ε ε

## ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

(Ζήτει τῇ κγ΄ Ἀπριλίου, τοῦ Ἁγίου Γεωργίου τοῦ Τροπαιοφόρου)

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν

τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(γ´ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(ε´ 15-23, στ´ 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς

λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

* * *

## Η ΕΚΤΕΝΗΣ ΔΕΗΣΙΣ

Εἶτα ὁ διάκονος (ἢ ὁ ἱερεὺς) τὴν ἐκτενῆ δέησιν, ὁ δὲ λαὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον (τρίς).

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τοῦ ἁγίου ναοῦ τούτου (τῆς ἁγίας μονῆς ταύτης) καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

* * *

### Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.
Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν

καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·
Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

## Εἰς τὴν Λιτήν, Στιχηρὰ ἰδιόμελα.

Ἦχος Πα




Ἦχος Δι




θρω ω ποις Παν τε λε η μων μα αρ τυς ε ε ε
ε εν δο ο ο ο ξε και πνευ μα τα δι ι ω
ω ω κεις τȣ ε πι κλη η η η η σει ει Χρι ι στȣ
ȣ και τυ φλοις α να α βλε ε πειν δε δω ω
ρη η η η σαι ως αυ τȣ ȣ θε ε ρα πων γνη η
σι ι ι ι ος αλ λα πρε σβε ευ ε ι α α τρε παμ
μα κα α α α α ρι ι ι ι στε τȣ δω ρη θη
ναι τω ω κο ο ο σμω ει ρη νη ην στα θη η ραν και
τοις σε πο ο θȣ ȣ ȣ σι με ε γα α ε ε ε ε
ε ε ε λε ος
Δι
Α πε σει σω την πλα νην τȣ πα τρο ος πα νε ε
ε ε εν δο ο ο ο ξε και τȣς λο γȣς της μη
τρος εμ φρο ο νως δε ξα α α με νος υ περ χρυ
σι ον ε κα αρ πο φο ο ο ο ρη η η η σας
κα τα την τȣ Κυ ρι ι ι ι ȣ ȣ φω ω νη ην
και ι α τρος α α ρι ι στο ο ος ε δει ει χθης


Παν τε λε η μο ο ο ον μαρ τυς ε ε εν δο ο ο ο
ξε βαι νων δε εν χα ρι ι τι ε εν τη ο ο δω
Γα Νη
ευ ρες κει ει με ε νον χα μερ πε ες νη η πι ι ον υ
πο ε χι ιδ νης δη η η η χθεν και προς Θε ον
ε ε ευ ξα με ε νος και εκ τε νω ως δυ υ υ σω
πη η σας ευ θυς τον παι αι δα α νε ε
Νη
στη η η η σας και το θη ρι ο ον δι ι ι ε σπα
Δι
α ρα α α α ξας δι ο μνη μο νε ευ ε και η η
μων των εν πι στει σȣ τε λȣ ȣν των το μνη η μο ο
ο συ υ υ υ νον
Δι
Μ η τρος ευ σε βȣς ε πι πο θη η η σας πι ι
στιν τȣ πα τρος δι ορ θω ω σω ω την α σε ε
βει ει ει ει αν ταις γαρ Ερ μο λα α ȣ στη ρι
χθεις δι ι ι δα α α σκα λι ι αις εν τȣ ȣ τω
και το βα α πτι ι σμα ε τε ε λε ε ε ε σας
Παν τε λε η μον μα αρ τυς ε ε ε εν δο ο ο


ο ξε τȣ ε λε η μο ο νος Θε ε ȣ των νο σȣν των
θε ρα πε ευ τα και των πα θω ων δι ω ω ω ω κτα
πρε σβευ ε λυ τρω θη ναι εκ πε ε ρι στα α α α
σε ε ε ε ως τȣς εν πι στει τε λȣ ȣ ȣν τας την α
ει σε βα α στο ον μνη η η μη η η ην σȣ
Ἦχος Πα
Η παμ φα ης τȣ μαρ τυ ρο ος μνη η η η η
μη λαμ πει ως η λι ο ος τοις πε ε ε ρα α α α
σι και α παυ στω ως δα α δȣ ȣ ȣ χει τοις πι
στοι οις τα α ι α α α α α μα α α α τα
νο ο σȣς α πο σο ο βȣ ȣ ȣ ȣ σα και πα θη
η θε ε ρα πε ευ ȣ ȣ ȣ ȣ σα ι κε τευ ει γαρ
α ει Παν τε λε η μο ον τω Χρι ι στω δω ρη
θη ναι ταις ψυ χαι αι αι αις η η η η μων το με γα
ε ε λε ε ος
Δ ο ξα Πα τρι και Υι ω και Α γι ω ω ω


Πνε ευ μα α α τι
Πα
Δ ευ τε φι λο μα α α αρ τυ υ υ υ ρες
Μ Κε Μ Κε
ο μο φω ω νω ως α πα αν τες ευ φη η μη η η
Πα
σω ω ω ω μεν τον τȣ Χρι στȣ α θλο ο φο ο ο
ρο ον τον υ πε ερ τη ης ευ σε ε βει ει ει
ει ει ας κα λω ως α γω ω νι ι σα α α α
Κε
α με ε ε ε νον και το βρα βει ον της νι ι ι
Μ Κε Δι
κης α να α δυ υ σα α α με ε ε ε νον τον φω
Πα
στη ρα της Οι κȣ με ε ε νη ης και α ει λαμ πει
Μ
α στε ε ε ρα α α της Εκ κλη σι ι ι ι ας δι
Κε Μ Κε
ο και προς αυ τον βο ω ων τε ες ει ει ει ει
πω ω ω ω μεν Παν τε λε η μον μα αρ τυς ε ε
Δι Πα
ε εν δο ο ο ο ξε γε νȣ η η μι ιν ψυ χων τε
Μ
και σω ω μα α των σω ω τη ρι ι ι ι α και
Κε Δι
σκε ε πη α σα α α α λε ευ το ο ο ος πρε




## Θεοτοκίον.

Ἦχος … Πα




* * *

## Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Παντελεήμονος μνήμην τοῦ ἐλεήμονος, μετ᾿ ἐγκωμίων ἄγειν, φιλομάρτυσι χρέος· οὗτος γὰρ τὸν μόνον ἐν οἰκτιρμοῖς, καὶ ἐλέει ἀνείκαστον, τῇ συμπαθείᾳ ζηλώσας τὴν παρ᾿ αὐτοῦ, θείαν χάριν ἐκομίσατο.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Τὴν κατὰ γνώμην σὺ χάριν ἐφιλοσόφησας, ἐμμελετῶν τῇ πράξει, ἣν ἐπίβασιν εὗρες, μάκαρ θεωρίας τῆς ἀληθοῦς, εὐεργέτης γενόμενος, τῶν κακουμένων ἐν νόσοις παντοδαπαῖς, Χριστὸν ἔχων θεῖον φάρμακον.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Τίς ἂν ἀξίως τοὺς ἄθλους ἐκδιηγήσαιτο, Παντελεῆμον Μάρτυς, οὓς ἀνέτλης γενναίως, ἅπασαν ἰδέαν τιμωριῶν, ἀπελέγξας ἀνίσχυρον, πρὸς τὸν ἐνόντα σοι πόθον ὑπὲρ Χριστοῦ, τοῦ σὲ νῦν ἀντιδοξάζοντος.

Ἦχος Νη






Θεοτοκίον.

Ἦχος Νη




* * *

Μετὰ τὰ ἀπόστιχα λέγεται ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως ἡ Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β΄ 29-32)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἀπολυτίκιον. Τοῦ Ἁγίου.

Ἦχος Γα




Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.






* * *

## Η ΑΠΟΛΥΣΙΣ

Μετὰ τὰ ἀπολυτίκια, ἐὰν μὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ' ὑμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης)·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ἐὰν δὲ δὲν προηγήθη ἀρτοκλασία·

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης· Εὐλόγησον.

Ὁ ἱερεύς·

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Ὁ ἱερεύς· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ ἀναγνώστης· Δόξα. Καὶ νῦν. Κύριε, ἐλέησον γ'. Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ ὁ ἱερεὺς τὴν μεγάλην ἀπόλυσιν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ λαός· Ἀμήν.

* * * * *